UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

XXVI. Quomodo Imperator post victoriam morbo correptus, filium suum Honorium Mediolanum evocavit: & paulisper convaluisse visus, edito Equestri certamine, eadem die excessit è vita.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

σωτηρίας τυχεῖν· ἀλλὰ πρὸς τοῖς ποσὶ τοῖς αὐτοῦ, ὑπὸ τῶν στρατιωτῶν τὴν κεφαλὴν ἀπετμήθη. ταῦτα πέπρακται τῇ ἕκτῃ τοῦ σεπτεμβρίου μηνὸς, ἐν ὑπατείᾳ Ἀρκαδίου τὸ τρίτον, καὶ Ὁνωρίου τὸ δεύτερον. Ἀρβογάστης δὲ ὁ τῶν τηλικούτων κακῶν αἴτιος, μετὰ δύο τῆς συμβολῆς ἡμέρας φεύγων, ὡς ἔγνω οὐκ εἶναι αὐτῷ βιώσιμα, τῷ οἰκείῳ ξίφει ἑαυτὸν διεχρήσατο.

A servaretur poposcit. Verum milites, ante ipsos Imperatoris pedes caput illi amputarunt. Gesta sunt hæc die octavo Idus Septembris, Arcadio tertium & Honorio iterum Consulibus. Arbogastes vero qui tantorum malorum auctor exstiterat, tertio post prælium die fugiens, cum nullam spem salutis sibi superesse intelligeret, suo se gladio transfixit.

---

## Κεφ. κϛ'.

Ὡς μετὰ τὴν νίκην ὁ βασιλεὺς ἀρρωστήσας, τὸν υἱὸν Ὁνώριον ἐν Μεδιολάνῳ μετεκαλέσατο, καὶ μικρὸν δόξας τῆς νόσου ῥαΐσαι, ἱπποδρομίαν τελεσάμενος, κατ' αὐτὴν τὴν ἡμέραν ἐτελεύτησεν.

Ὁ δὲ βασιλεὺς Θεοδόσιος, ἐκ τοῦ πολεμικοῦ μόχθου κακῶς διετέθη τὸ σῶμα· προσδοκήσας δὲ ἐκ τῆς ἐπιγενομένης ἀρρωστίας τέλος ἔχειν αὐτῷ τὰ τῆς ζωῆς, μείζονα τῆς τελευτῆς περὶ τῶν δημοσίων πραγμάτων εἶχε φροντίδα, λογιζόμενος ὅσα καταλαμβάνει κακὰ τοὺς ἀνθρώπους, βασιλέως τελευτήσαντος· μεταπέμπεται οὖν ἢ τάχος τὸν υἱὸν Ὁνώριον ἐκ τῆς Κωνσταντίνου πόλεως, καταστῆσαι τὰ ἑσπέρια μέρη βουλόμενος· φθάσαντος δὲ τοῦ υἱοῦ ἐν τῇ Μεδιολάνῳ, ἀνερρώσθη τῆς νόσου· ἱπποδρομίας τε ἐπινικίους ἐπιτελεῖ· καὶ πρὸ ἀρίστου μὲν ἔρρωτο, τὰς ἱπποδρομίας θεώμενος· μετὰ δὲ τὸ ἄριστον ἐξαίφνης διετέθη κακῶς· καὶ εἰς μὲν τὴν θέαν προελθεῖν οὐκ ἴσχυσεν· τὸν δὲ υἱὸν τὴν ἱπποδρομίαν ἐπιτελέσαι κελεύσας, νυκτὸς ἐπιγενομένης ἐτελεύτησεν, ἐν ὑπατείᾳ Ὀλυβρίου καὶ Προβίνου, τῇ ἑπτακαιδεκάτῃ τοῦ Ἰανουαρίου μηνός. τοῦτο δὲ ἦν πρῶτον ἔτος τῆς διακοσιοστῆς ἐνενηκοστῆς τετάρτης Ὀλυμπιάδος· ἔζησε δὲ ὁ βασιλεὺς Θεοδόσιος ἔτη ἑξήκοντα· ἐβασίλευσε δὲ ἔτη ιϛ'. περιέχει ἡ βίβλος χρόνον ἐτῶν δεκαέξ, μηνῶν ὀκτώ.

## Caput XXVI.

B *Quomodo Imperator post victoriam morbo correptus, Filium suum Honorium Mediolanum evocavit: & paulisper convaluisse visus, edito equestri certamine, eadem die excessit è vita.*

Cæterum Imperator Theodosius, ex ærumnis quas eo bello sustinuerat, malam corporis valetudinem contraxit. Cumque ex eo morbo finem vitæ sibi imminere speraret, de Republica magis quam de vita sua sollicitus videbatur: Secum ipse reputans, quot & quantæ calamitates post Imperatoris obitum C hominibus contingere soleant. Honorium igitur Filium celeriter accersit Constantinopoli, cum in animo haberet statum Occidentalis imperii ordinare. Qui cum Mediolanum venisset, Imperator paulum ex morbo recreatus, victoriæ causa ludos equestres in circo edidit. Et ante prandium quidem commode habebat, dum Circensibus spectaculis interesset. Post prandium vero subito ingravescente morbo, ipse ad spectaculum venire non potuit. Sed Filio spectaculis præsidere jusso, sequenti nocte animam exhalavit, Olybrio & Probino Consulibus, ante diem D XVI. Calendas Januarii. Erat hic annus primus Olympiadis ducentesimæ nonagesimæ quartæ. Vixit porro Imperator Theodosius annos sexaginta: imperavit autem annos sedecim. Complectitur autem hic liber res gestas spatio annorum sedecim ac mensium octo.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN